πάσας τὰς ἡμέρας ὑμῶν, ὅπως ἂν ζήσητε ἡμέρας πολλὰς ἐπὶ τῆς
8 γῆς, ἐφ᾽ ἧς διατρίβετε ὑμεῖς ἐπ᾽ αὐτῆς. 8 καὶ ἠκούσαμεν τῆς φωνῆς
Ιωναδαβ τοῦ πατρὸς ἡμῶν πρὸς τὸ μὴ πιεῖν οἶνον πάσας τὰς ἡμέ-
ρας ἡμῶν, ἡμεῖς καὶ αἱ γυναῖκες ἡμῶν καὶ οἱ υἱοὶ ἡμῶν καὶ αἱ
9 θυγατέρες ἡμῶν, 9 καὶ πρὸς τὸ μὴ οἰκοδομεῖν οἰκίας τοῦ κατοικεῖν
10 ἐκεῖ, καὶ ἀμπελὼν καὶ ἀγρὸς καὶ σπέρμα οὐκ ἐγένετο ἡμῖν, 10 καὶ
ᾠκήσαμεν ἐν σκηναῖς καὶ ἠκούσαμεν καὶ ἐποιήσαμεν κατὰ πάντα,
11 ἃ ἐνετείλατο ἡμῖν Ιωναδαβ ὁ πατὴρ ἡμῶν. 11 καὶ ἐγενήθη ὅτε ἀνέβη
Ναβουχοδονοσορ ἐπὶ τὴν γῆν, καὶ εἴπαμεν Εἰσέλθατε καὶ εἰσέλθω-
μεν εἰς Ιερουσαλημ ἀπὸ προσώπου τῆς δυνάμεως τῶν Χαλδαίων
καὶ ἀπὸ προσώπου τῆς δυνάμεως τῶν Ἀσσυρίων, καὶ ᾠκοῦμεν
12 13 ἐκεῖ. — 12 καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων 13 Οὕτως λέγει
κύριος Πορεύου καὶ εἰπὸν ἀνθρώπῳ Ιουδα καὶ τοῖς κατοικοῦσιν
Ιερουσαλημ Οὐ μὴ λάβητε παιδείαν τοῦ ἀκούειν τοὺς λόγους μου;
14 14 ἔστησαν ῥῆμα υἱοὶ Ιωναδαβ υἱοῦ Ρηχαβ, ὃ ἐνετείλατο τοῖς τέ-
κνοις αὐτοῦ πρὸς τὸ μὴ πιεῖν οἶνον, καὶ οὐκ ἐπίοσαν· καὶ ἐγὼ
15 ἐλάλησα πρὸς ὑμᾶς ὄρθρου καὶ ἐλάλησα, καὶ οὐκ ἠκούσατε. 15 καὶ
ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας λέγων Ἀπο-
στράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ βελτίω
ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν καὶ οὐ πορεύσεσθε ὀπίσω θεῶν
ἑτέρων τοῦ δουλεύειν αὐτοῖς, καὶ οἰκήσετε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα
ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν· καὶ οὐκ ἐκλίνατε τὰ ὦτα ὑμῶν καὶ
16 οὐκ ἠκούσατε. 16 καὶ ἔστησαν υἱοὶ Ιωναδαβ υἱοῦ Ρηχαβ τὴν ἐντο-
17 λὴν τοῦ πατρὸς αὐτῶν, ὁ δὲ λαὸς οὗτος οὐκ ἤκουσάν μου. 17 διὰ
τοῦτο οὕτως εἶπεν κύριος Ἰδοὺ ἐγὼ φέρω ἐπὶ Ιουδαν καὶ ἐπὶ τοὺς
κατοικοῦντας Ιερουσαλημ πάντα τὰ κακά, ἃ ἐλάλησα ἐπ᾽ αὐτούς.
18 18 διὰ τοῦτο οὕτως εἶπεν κύριος Ἐπειδὴ ἤκουσαν υἱοὶ Ιωναδαβ
υἱοῦ Ρηχαβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν ποιεῖν καθότι ἐνετεί-
19 λατο αὐτοῖς ὁ πατὴρ αὐτῶν, 19 οὐ μὴ ἐκλίπῃ ἀνὴρ τῶν υἱῶν Ιω-
ναδαβ υἱοῦ Ρηχαβ παρεστηκὼς κατὰ πρόσωπόν μου πάσας τὰς
ἡμέρας τῆς γῆς.

7 ημερας $1^0$] + της ζωης A: item in 8 | ζησητε] ζητε A || 8 ηκουσαμεν] pr. εισ A | ιωναδαν S†, sed in 6. 10. 14 etc. etiam S -δαβ | πινειν S*† | ημων $2^0 \frown 3^0$ A† || 9 και $1^0$ > A | οικοδομειν] οικειν A*† | και $2^0$ > BS† || 10 -σαμεν $2^0 \frown 3^0$ A† | α BS†] οσα rel. || 11 εισελθατε και εισελθωμεν S†] εισελθειν κ. εισηλθομεν B†, αναβαντες εισελευσομεθα(*L* εισελθωμεν) rel. | απο προσ. της δυν. $1^0 \frown 2^0$ S*A | ωκουμεν] οικ. S† (cf. 10 οικησαμεν A† pro ωκησ.), ωκησαμεν mu., ωκησομεν (sic) A† || 13 ιερουσ.] pr. εν A†: cf. 4 4 | του > SA || 14 υιου] υιοι S: cf. 16 | και ελαλ. > A | ηκουσατε] pr. εισ A || 15 παιδας] δουλους A pl. | της $1^0$ > S† | τα $1^0$ > A† | ετερων] αλλοτριων SA | ηκουσατε] pr. εισ S†, + μου S || 16 υιοι] pr. οι SA: item in 18 | υιου] οι υιοι S†: cf. 14 | ο δε] και ο S† | ουτος] μου A† | ηκουσεν Bc† || 17 > A† || 18 υιοι: cf. 16 | υιου ρηχ. τ. εντ. > S(†): cf. 6 | καθοτι] οσα A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/734 UNIVERSITÄT LEIPZIG